Ето што говори Стравонъ за Венды тѣ подъ имя то Ἐνετοὶ съ F дигамѫ F-ενετοὶ, Венети, Венти, Венди:

Οἱ μὲν οὖν Κελτοὶ τοῖς ὑπεραλπείοις ὁμοεθνεῖς εἰσὶ, περὶ δὲ τῶν Ἐνετῶν διττὸς ἐστὶ λόγος· οἱ μὲν γὰρ καὶ αὐτοὺς φασὶν εἶναι Κελτῶν ἀποίκους τῶν ὁμωνύμων παρωκεανιτῶν, οἱ δ᾽ ἐκ τοῦ Τρωϊκοῦ πολέμου μετ᾽ Ἀντήνορος σωθῆναι δεῦρό φασι τῶν ἐκ τῆς Παφλαγονίας Ἑνετῶν τινας· μαρτύριον δὲ τούτου προφέρονται τὴν περὶ τὰς ἱπποτροφίας ἐπιμέλειαν, ἣ νῦν μὲν τελέως ἐκλέλοιπε πρότερον δ᾽ ἐτιμᾶτο παρ᾽ αὐτοῖς ἀπὸ τοῦ παλαιοῦ ζήλου τοῦ κατὰ τὰς ἡμιονίτιδας ἵππους· τούτου δὲ καὶ Ὅμηρος μέμνηται "ἐξ Ἑνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων„ καὶ Διονύσιος ὁ τῆς Σικελίας τύραννος ἐντεῦθεν τὸ ἱπποτροφεῖον συνεστήσατο τῶν ἀθλητῶν ἵππων, ὥστε καὶ ὄνομα ἐν τοῖς Ἕλλησι γενέσθαι τῆς Ἑνετικῆς πωλείας καὶ πολὺν χρόνον εὐδοκιμῆσαι τὸ γένος.—

Ἔπειτα ἡ Παφλαγονία καὶ οἱ Ἐνετοί· ζητοῦσι δὲ τίνας λέγει τοὺς Ἐνετοὺς ὁ ποιητὴς ὅταν φῇ „Παφλαγόνων δ᾽ ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων·“ οὐ γὰρ δείκνυσθαι φασὶ νῦν Ἐνετοὺς ἐν τῇ Παφλαγονίᾳ οἱ δὲ κώμην ἐν τῷ Αἰγιαλῷ φασι δέκα σχοίνους ἀπὸ Ἀμάστρεως διέχουσαν. Ζηνόδοτος δὲ „ἐξ Ἐνετῆς“ γράφει, καὶ φησὶ δηλοῦσθαι τὴν νῦν Ἀμισόν· ἄλλοι δὲ φῦλόν τι τοῖς Καππάδοξιν ὅμορον στρατεῦσαι μετὰ Κιμμερίων, εἶτ᾽ ἐκπεσεῖν εἰς τὸν Ἀδρίαν· τὸ δὲ μαλισθ᾽ ὁμολογούμενον ἐστιν ὅτι ἀξιολογώτατον ἦν τῶν Παφλαγόνων φῦλον οἱ Ἐνετοί, ἐξ οὗ ὁ Πυλαιμένης ἦν· καὶ δὴ καὶ συνεστράτευσαν οὗτοι αὐτῷ πλεῖστοι, ἀποβαλόντες δὲ τὸν ἡγεμόνα διέβησαν εἰς τὴν Θρᾴκην μετὰ τὴν Τροίας ἅλωσιν, πλανώμενοι δ᾽ εἰς τὴν νῦν Ἐνετικὴν ἀφίκοντο· τινὲς δὲ καὶ Ἀντήνορα καὶ τοὺς παῖδας αὐτοῦ κοινωνῆσαι τοῦ στόλου τούτου φασὶ καὶ ἱδρυθῆναι κατὰ τὸν μυχὸν τοῦ Ἀδρίου, καθάπερ ἐμνήσθημεν ἐν τοῖς Ἰταλικοῖς· τοὺς μὲν οὖν Ἐνετοὺς διὰ τοῦτ᾽ ἐκλιπεῖν εἰκὸς καὶ μὴ δείκνυσθαι ἐν τῇ Παφλαγονίᾳ.

—Келти тѣ сѫ единородни съ отвьдалпийцы тѣ, а за Венеты тѣ двѣ мнѣныя има; нѣкои си казвѫть чи и тии сѫ приселение на отвьдьокеански тѣ имъ единоймяны, други же казвѫть чи отъ Тройскыи бои нѣкои си отъ Пафлагонскы тѣ Венеты сѫ спасли тукъ; свидѣтьлство же навождѫть занѣтие то имъ въ конскы тѣ завъды, кое сега ако и да е изчезло, нъ прѣжде ся цѣнѣше у тѣхъ отъ старанѭ имъ ревность за отвъждание на мазгы (катьркы); това же и Омиръ възпомянува „отъ Венетовъ отъ дѣ излизѫть добри мазги“ а и Дионисий сикелийскый господарь отъ тамо си завъди варны тѣ (бързы за пьприште, надваряньe) коние, штото и имя е остало между Еленамъ *венетскы звѣдъ* и млого врѣмя е успѣвалъ той сой (родъ) . . , . . . .

—Послѣ Пафлогония и Венети тѣ. Изисквѫть же кои Венеты казва твореца (Омир) кога говори=*Пафлагонскы тѣ пълчишта прѣдвождаше царь Пилъменъ отъ Венетовъ, дѣ ся въдѫть добри мазги*—зашто то, думѫть, не ся виждѫть сега Венети въ Пафлагониѭ; а други казвѫть чи десять личянскы